θέλοντες εὐφραίνειν μᾶλλον ἢ λυπεῖν τοιαύτας ἐρωτήσεις προφέρονται, ὧν ταῖς ἀποκρίσεσιν οὐ ψόγος ἀλλ' ἔπαινος, οὐδὲ μῖσος ἢ νέμεσις ἀλλ' εὔνοια καὶ χάρις ἕπεται παρὰ C τῶν ἀκουσάντων. ταῦτα μὲν οὖν τὰ περὶ τὰς ἐρωτήσεις.'

**4.** 'Σκώμματος δὲ τῷ μὴ δυναμένῳ μετ' εὐλαβείας καὶ τέχνης κατὰ καιρὸν ἅπτεσθαι παντάπασιν ἀφεκτέον· ὥσπερ ⟨γὰρ τοὺς⟩ ἐν ὀλισθηρῷ τόπῳ, κἂν θίγωσιν ἐκ παραδρομῆς μόνον, ἀνατρέπουσιν, οὕτως ἐν οἴνῳ πρὸς πᾶσαν ἀφορμὴν λόγου μὴ κατὰ σχῆμα γιγνομένην ἐπισφαλῶς ἔχομεν. τοῖς δὲ σκώμμασιν ἔστιν ὅτε μᾶλλον ἢ ταῖς λοιδορίαις ἐκκινούμεθα, τὸ μὲν ὑπ' ὀργῆς πολλάκις ἀβουλήτως ὁρῶντες γινόμενον, τὸ δ' ὡς οὐκ ἀναγκαῖον ἀλλ' ἔργον ὕβρεως καὶ κακοηθείας προβαλλόμενοι· καὶ καθόλου διαλέγεσθαι τοῖς . . . νοις μᾶλλον ἢ τοῖς . . . φλυαροῦσι D χαλεπαίνομεν· . . . ὅτι δ' ὅλως τὸ . . . ματι προσέσται . . . τὸ σκῶμμα, λοιδόρημα δὲ . . . εἶναι καὶ πεποιημένον ἐκ παρασκευῆς. ὁ γὰρ εἰπὼν ταριχοπώλην αὐτόθεν ἐλοιδόρησεν, ὁ δὲ φήσας 'μεμνήμεθά σε τῷ βραχίονι ἀπομυττόμενον' ἔσκωψεν. καὶ Κικέρων πρὸς